eul_wid: skw-ai

*Ἐρωτικὰ Ἀδέσποτα* · Erotic Narrative Anonymous

# Sesonchosis

*Σησόνχωσις*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Μυθιστορία* Fiction
**Format:** *Πεζός* Prose

[25] [ ........ ] . τ[] μ[ ..... ] γενναίως οὖν ὁμοδυνα[μή]σαντες ἐφ’ ἱκανὸν χρόν[ον ... ] . σταντες ἐμάχοντο, πολλοὶ μ[ὲ]ν αὐτῶν ἀπώλλυντο, πολλοὺς δὲ [κ]αὶ τῶν ἐναντίων ἔκτ[ει-] ναν· [σφ]ᾶς δ’ ὁρῶντες αὐτοὺς οἱ Ἄραβες [ἑκά]στης ἡμέρας μειουμένους, τ[οὺς] δὲ Αἰγυπτίους ἔτι μᾶλλον ἐκ τῶν ἄλλων νομῶν ἐπερχομένων πληθύ 〈ο〉 ντας ἐτροπώθησαν ὥστε μηδὲ τὸ πέμπτον μέρος ἀνασ[ωθ]ῆναι τῆς στρατείας, ἀλλὰ τοὺς μὲν διωκομένο[υ]ς, τοὺ[ς] δὲ φεύγοντας ὑπ’ ἀλλήλων συμπα[τ]εῖσθαι, μόνον δὲ τὸν Οὐέβηλιν μετ’ ὀλίγων τῶν περὶ αὐτὸν εἰς τοὺς ἰδίους ἀνακομισθῆναι τόπους· οἱ δὲ Αἰγύπτιοι μετὰ τὴν ἧτταν τῶν ἐναντίων εὐλαβηθέντες μὴ στρατολο[γ]ήσας ὁ Οὐέβηλις ἐκ τῶν ἄλλ[ων ἐ]θνῶν τῶν ὁμορούντ[ων] αὐτῷ τ[ὸ] δεύ[τε]ρον ἐπ’ αὐτοὺς ἔλθῃ γεν[ό]μεν[ος ἰσ]χυρότερος τὰς πόλεις τὰς [ἐπὶ] τ[ῆ]ς συνορίας τῆς Ἀραβίας ἱκαν[οῖς] ἄνδρασιν ὠχυρώσαντο εἰς [ .... ] . πάντα. Σεσόγγωσις δὲ διακ[ο]ύ[σ]ας παρ[ὰ] τοῦ Θαΐμου τὰ συμ- [25]